ἀλλ' οὐδεὶς αὐτὸν ἐκ μεταμελείας ταῦτα λέγοντα προσεδέξατο· διὸ καὶ ἄχρι
νῦν καθῃρημένος εἰς ἐξορίαν πεμφθεὶς, εἰς τὴν Ὄασιν κατοικεῖ. Ἡ μὲν
οὖν τότε γενομένη σύνοδος, τοιοῦτον ἔσχε τὸ τέλος. Καὶ μετὰ πρᾶξαι ταῦτα μὲν τοῦ
ἐν ὑπατείᾳ Βάσσου καὶ Ἀντιόχου, τῇ εἰκάδι ὀγδόῃ τοῦ Ἰουνίου μηνὸς. Ἰωάννης δὲ κατα-
λαβὼν τὴν Ἀντιόχειαν καὶ πολλοὺς συναγαγὼν ἐπισκόπους, καθαιρεῖ Κύρι-
λλον ἤδη καταλαβόντα τὴν Ἀλεξάνδρειαν· μικρὸν δὲ ὕστερον λύσαντες τὴν
ἔχθραν, συνελθόντες εἰς φιλίαν καὶ ἀλλήλοις τοὺς θρόνους ἀπέδοσαν·
μετὰ δὲ τὴν Νεστορίου καθαίρεσιν, δεινὴ ἐν τῇ Κωνσταντίνου πόλει ταραχὴ
κατὰ τὰς ἐκκλησίας ἐγένετο· διῃρέθη γὰρ ὁ λαὸς διὰ τὴν ὡς ἔφθασα εἰπὼν εὐ-
χρολογίαν αὐτοῦ· κοινῇ μέντοι ψήφῳ πάντες οἱ κληρικοὶ αὐτὸν ἀνεθεμάτισαν·
οὕτω γὰρ οἱ Χριστιανοὶ καλεῖν εἰώθασι, τὴν κατὰ τοῦ βλασφήμου ψῆφον, ὅταν
αὐτὴν ὥσπερ ἐν στήλῃ ἀναρτήσαντες, φανερὰν τοῖς ἅπασι καταστήσωσιν:

**Ὡς μετὰ τὴν Νεστορίου καθαίρεσιν, τὸν Πρόκλον τινῶν βουλομένων ἐνθρονίσαι,
προχειρίζονται τινὲς τῶν ἐπισκόπων Μαξιμιανὸν τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον:** λε

Πάλιν οὖν ἐπὶ λόγοις ἐπισκόπων ζήτησις ἦν. Καὶ πολλοὶ μὲν Φίλιππον ὠνόμαζον, οὗ
ἤδη ἐπεμνήσθημεν· πλείους δὲ τὸν Πρόκλον ἐπελέγοντο. Καὶ ἐκράτησεν
ἂν ἡ Πρόκλου γνώμη, εἰ μή τινες τῶν μέγα δυναμένων ἐκώλυσαν· φή-
σαντες κανόνα ἐκκλησιαστικὸν κωλύειν τὸν ὀνομασθέντα τινὸς πόλεως
ἐπίσκοπον, εἰς ἑτέραν μεταφέρεσθαι πόλιν· τούτου λεχθέντος καὶ πιστευθέντος, τὸν
λαὸν ἡσυχάζειν ἠνάγκαζε. Τετράμηνον δὲ διαδραμόντος χρόνου μετὰ
τὴν Νεστορίου καθαίρεσιν, προχειρίζεται πρὸς τὴν ἐπισκοπὴν Μαξιμιανὸς, ὁμο-
γενὴς ἀσκητικὸς μὲν τὸν βίον, ἐν τοῖς πρεσβυτέροις δὲ καὶ αὐτὸς ἐτέτα-
κτο· οὗτος ὑπόληψιν εὐλαβείας πάλαι ἐκέκτητο, διότι οἰκείοις ἀναλώ-
μασι κατεσκευάκει μνήματα, ὥστε ἐν αὐτοῖς τοὺς εὐλαβεῖς τελευτῶντας
κηδεύεσθαι· ἦν δὲ καὶ ἰδιώτης τῷ λόγῳ, καὶ ἀπραγμονέστερον ζῆν προῃρεῖτο:

**Παραδείγματα δι' ὧν ὡς δοκεῖ κατασκευάζει ὁ συγγραφεὺς ἀκώλυτον εἶναι τὴν
ἀπὸ θρόνου εἰς θρόνον μετάθεσιν:** λϛ

Ἐπειδὴ δέ τινες ἐπιφημίσαντες ἐκκλησιαστικὸν κανόνα ἐκώλυσαν τὸν
Πρόκλον ἐνθρονισθῆναι, ἤδη τῆς Κυζίκου ὀνομασθέντα ἐπίσκοπον,
βούλομαι ὀλίγα περὶ τούτου διαλαβεῖν· οὔ μοι δοκοῦσιν ἀληθεύειν, οἱ τότε ταῦτα
λέγειν ἐπιχειρήσαντες, ἀλλὰ κατασκευάσαι φθόνῳ τῷ πρὸς τὸν Πρόκλον,
ἢ ἀγνοοῦντες καὶ τοὺς κανόνας, καὶ τὰ πολλάκις χρησίμως ἐν ταῖς ἐκκλησίαις γενόμενα.
Εὐσέβιος γοῦν ὁ Παμφίλου ἐν τῇ ἕκτῃ τῆς ἐκκλησιαστικῆς ἱστορίας, Ἀλέξαν-
δρον μιᾶς τῶν ἐν Καππαδοκίᾳ πόλεων ἐπίσκοπον ὄντα, εὐχῆς ἕνεκα ἐπὶ τὰ Ἱε-